Universitätsbibliothek Paderborn

# Philippi Cyprii, Protonotarii Constantinopolitani, Chronicon Ecclesiae Graecae

**Philippus <Cyprius>**

**Franeqverae, 1679**

21 De modo orandi apud Graecos.

urn:nbn:de:hbz:466:1-10949

Visual Library

ΚΕΦΑΛ. ΙΑ.

## Περὶ τοῦ, πῶς προσεύχονται οἱ Ἕλληνες.

Προσεύχονται οἱ Ἕλληνες ἀεὶ ἐν τῷ ναῷ ὀρθῶς ἱστάμενοι, ἔχουσι δὲ τινα στηρίγματα ἐν τῷ ναῷ καὶ τὰ σκάμνια ὑψηλὰ, καὶ δύνανται ποτὲ μὲν καθῆσθαι ἐν ἐκείνοις, ποτὲ δὲ ἵστασθαι, ὥσπερ ἐν τισι ναοῖς γυμνασίων. κάθηνται δὲ ἐν ἐκείνοις τοῖς στηρίγμασιν οἱ λαοὶ, ὅταν διδάσκωσιν οἱ ἱερεῖς· ἵστανται δὲ ἐστηριγμένοι ἐν ἐκείνοις, ὅταν ἄδουσι. ὅταν δὲ ἔρχονται εἰς τὴν ἐκκλησίαν, πορεύεται ἕκαστος εἰς τὸν ἴδιον τόπον αὐτοῦ, καὶ ἱστάμενος ἐκβάλλει τὸ σκιάδιον αὐτοῦ, ἢ τὸ περικεφάλαιον, καὶ συνάγει τοὺς τρεῖς δακτύλους τῆς δεξιᾶς χειρὸς αὐτοῦ, τουτέστι, τὸν πρῶτον δάκτυλον, καὶ τὸν δεύτερον, καὶ τὸν τρίτον ὁμοῦ, σημαίνων ὅτι ὁ Θεός ἐστιν ἁγία τριὰς, καὶ τίθησι πρῶτον τοὺς τρεῖς δακτύλους συνηγμένους ἐν τῷ βλεφάρῳ, σημαίνων ὅτι ἡ ἁγία τριὰς ἐστὶν ἐν τῷ οὐρανῷ. καὶ ἔπειτα τίθησιν ἐν τῇ γαστρὶ, σημαίνων ὅτι ὁ υἱὸς καὶ λόγος τοῦ Θεοῦ κατέβη εἰς τὴν γῆν, καὶ ἐσαρκώθη, καὶ ἐσταυρώθη, καὶ ἐτάφη διὰ τὰς ἁμαρτίας ἡμῶν. Ἔπειτα τίθησιν ἐν τῷ δεξιῷ ὤμῳ, σημαίνων ὅτι ἀνέστη ἐκ τοῦ ᾅδου, καὶ ἐκάθησεν ἐν τῇ δεξιᾷ τοῦ πατρὸς, ὥς φησιν ὁ Δαβὶδ, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ἔπειτα τίθησιν ἐν τῷ ἀριστερῷ ὤμῳ, σημαίνων ὅτι μὴ τιθέναι ἡμᾶς ἐν τῇ ἀριστερᾷ, ἀλλὰ ῥύσειν ἡμᾶς ἀπὸ τῶν ἀριστερῶν, ὥς φησιν ὁ κύριος, Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. καὶ πάλιν ὅταν λέγει· Τότε μεταστήσονται τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. ὅμως ἀναμεταξὺ τοῦ διαστήματος τῆς στιγμῆς ταύτης, τουτέστιν, ἀπὸ τῆς στιγμῆς, ἐν ᾗ ἄρχεται τιθέναι τοὺς δακτύλους ἐν τῷ βλεφάρῳ, καὶ ἕως οὗ θήσει ἐν τῇ κοιλίᾳ, καὶ ἐν τῇ δεξιᾷ, καὶ ἐν τῇ ἀριστερᾷ, ἐν τούτῳ τῷ διαστήματι λέγει ταῦτα τὰ ῥήματα· Κύριε Ἰησοῦ Χριστὲ, υἱὲ καὶ λόγε τοῦ Θεοῦ, ἐλέησόν με τὸν ἁμαρτωλὸν, κάμπτων καὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ οὕτω σημαίνει καὶ τὸν σταυρὸν τοῦ Χριστοῦ τοῦτο τὸ σχῆμα. τουτέστι, τὸ τιθέναι τὴν χεῖρα ἐν τῷ βλεφάρῳ, καὶ τὸ τιθέναι ἐν τῇ κοιλίᾳ, καὶ τὸ βαλεῖν ἐν τῇ δεξιᾷ, καὶ τὸ φέρειν εἰς τὴν ἀριστερὰν, γίνεται σταυρὸς ἐν τῷ σχήματι τούτῳ, καὶ σημαίνει τὸν σταυρὸν τοῦ Χριστοῦ, τουτέστι, σταυρωθῆναι τὸν Χριστὸν διὰ τὰς ἁμαρτίας ἡμῶν. Καὶ οὕτως ἕκαστος ποιεῖ τοῦτο τὸ σχῆμα τρεῖς καὶ τετράκις, καὶ ἔπειτα στηρίζεται ἐν τῷ καθηδρίῳ αὐτοῦ.

ΚΕ-

CAPUT XXI.

DE

# Modo quem in orando obſervant Græci.

ORant Græci in templis erecti ſemper & ſtantes. Habent verò & fulcimenta nonnulla in templis, & juxta illa quoque ſcamna altiora, & quandoque poſſunt in illis ſedere, quandoque ſtare, ſicut in quibuſdam templis gymnaſiorum ſive collegiorum videre eſt. Inſident verò fulcris iſtis laici, quando à ſacerdote docentur; ſtant verò iſtis ſuffulti, quando hymnis Deum deprecantur. Templum verò ingreſſi, proprium quilibet occupat locum; conſiſtenſque pileum aut capitium deponit, ac tres dexteræ manûs digitos conjungit, hoc eſt, primum, ſecundum, tertium digitum ſociat, ſignificans eo, quod Deus ſit ſancta Trinitas. Tres autem illos copulatos digitos primò omnium palpebris imponit, notans ſanctam illam triadem in cœlis exiſtere. Poſtea ventri eoſdem applicat, indicans eopſe, filium verbumque Patris in terram deſcendiſſe, carnem induiſſe, toleratoque crucis ſupplicio tandem propter peccata noſtra ſepultum fuiſſe. His peractis, humero dextro eoſdem admovet, innuens, quod Chriſtus ab inferis reverſus ad dextram Dei Patris conſederit, ſecundum dictum Davidis: Sede à dextris meis, donec ponam inimicos ſcabellum pedum tuorum. Poſt hæc humerum ſiniſtrum contingit, ſignificans, ſive hoc tactu tacitè petens, ne à ſiniſtris nos collocet, ſed ut à ſiniſtrâ illâ potius nos liberet, ſicut dicit Dominus: Sed libera nos à malo. & iterum ait, Tunc ſtabunt oves à dextris, hædi verò à ſiniſtris. Hoc puncti quaſi intervallo, hoc eſt, ab eo temporis articulo, quo palpebris primò, tum ventri, tertiò dextro, denique ſiniſtro humeris digitos admovet, per hoc ipſum intervallum hæc verba pronunciat: Domine Jeſu Chriſte, fili verbumque Dei, propitius eſto mihi peccatori. id dum peragit, cum dorſo latera inflectit, & ſic Chriſti crucem deſignat, id eſt, manus illa jam in palpebras, modò in ventrem, rurſus in partem dexteram, in ſiniſtram ultimò quoque projecta, crucis ſignum effigiat, crucemque Chriſti, hoc eſt, Chriſtum propter peccata noſtra cruci adfixum adumbrat. Hanc figuram quilibet ter quaterve effingit, & poſtea demum ſellulæ ſuæ fulciendo ſeſe incumbit.